# TEZAUR LITURGIC

## 11 OCTOMBRIE

# SLUJBA
# SF.MUCENIŢE
# ZINAIDA
# ŞI
# FILONILA
# DE LA
# TARSUL CILICIEI

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 11 ΟΚΤΩΒΡΙΟΣ
# ΖΗΝΑΪΣ & ΦΙΛΟΝΙΛΛΑ ΟΣΙΕΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους ϛ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐγκρατείᾳ τὸ σῶμά σου, Ζηναΐδα νεκρώσασα, τὴν ψυχὴν ἐζώωσας καὶ ἐκόσμησας, καὶ οἰκητήριον Πνεύματος, σαυτὴν ἀπετέλεσας, καὶ συνελήφθης μυστικῶς, τῷ Νυμφίῳ καὶ Κτίστῃ σου· Ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου. *(Δίς)*

Ἰουδαίων φρυάγματα, καὶ θρασεῖαν ὠμότητα, Φιλονίλλα πάνσοφε ματαιόφρονα, τὴν τῶν μελλόντων προβλέπουσαι, θεόφρον δόξαν διαμένουσαν ἀεί, δι' αἰῶνος ἀσάλευτον ἐπετύχετε, ἀπαθείας μεταστᾶσαι πρὸς νυμφῶνας οὐρανίους, καὶ χορείαν τὴν ἀκήρατον ἔνδοξαι. *(Δίς)*

Γυναικείῳ ἐν σώματι, καὶ ἀνδρείῳ ἐν σχήματι, ἀνδρικὰ ἐδεινώσατε ἀγωνίσματα, μέσον ἀνδρῶν κατῳκήσατε, καὶ πάθη ἐμειώσατε, καὶ ὁρμὰς τῶν ἡδονῶν, παντελῶς ἐχαλινώσατε, ταῖς ἀσκήσεσι, τῇ συντόνῳ δεήσει Ζηναΐδα, Φιλονίλλα πρὸς τὸ θεῖον, καὶ ἀνενδότοις σας νεύσεσιν.

Τοῦ ἐχθροῦ τὰ σοφίσματα, μηδαμῶς ἠγνοήσατε, καίπερ οοὐκ ὠδινήσατε, στέρνοις νήπιον, μητρικοῖς σπλάγχνοις ἔνδοξοι, ἐκ βρέφους προεφέρετε, εὐσεβεῖ τῷ λογισμῷ, τὸ ἀνθρώπινον ὄνειδος, τὴν ἀνύπεικτον, ἐπιτίμησιν ὄντως Ζηναΐδα, Φιλονίλλα τὴν σεπτήν σας, ἐπιτελοῦμεν πανήγυριν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τοῖς πόνοις τῆς ἀσκήσεως ἐγκαρτερήσατε, ἐδέξασθε δὲ χαράν, καὶ ἰατρεύετε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τῶν ψυχῶν καὶ τῶν σωμάτων, μητέρες σεμναί, ἀποσβέννυτε, πονηρὰ πνεύματα διώκετε θείῳ Πνεύματι, πάντων τῶν ἐν θλίψεσι προΐστασθε· αἰτήσατε ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα'. 10-31)*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία

τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε  πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ᾽ αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησας, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι

καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, ιδ'. 1-8, 24-27)*

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς. ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον, ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται. ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη δὲ σοφῶν φυλάσσει αὐτούς. οὗ μή εἰσι βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς. μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, αἴσθησις δὲ παρὰ φρονίμοις εὐχερής. πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθήσεως χείλη σοφά. σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ. στέφανος σοφῶν πλοῦτος αὐτῶν, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. ρύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψεύδη δόλιος. ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα. πρόσταγμα Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ

ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Μεταναστεύουσα πρώην τῇ διαθέσει σεμνή, καὶ βεβαιοῦσα ἔργῳ τὸ κριθέν σοι ἔννοιᾳ, ἐξῆλθες τῆς ματαίας τῶν ἡδονῶν, Ζηναΐδα πανεύφημε, καὶ τῶν ἀρετῶν τὴν τραχεῖαν εὐθυδρομεῖς ἀνάβασιν, ξενιτεύσασα.

*Ὁ αὐτός.*

Ἐν τῷ λιμένι τοῦ θείου προσορμισθεῖσα ἰσθμοῦ, διαπερᾷς κυμάτων Φιλονίλλα τὸν σάλον, ψυχῆς δέ σου τὸ πλοῖον σάλων σεμνή, ἀδιάκλυστον φέρουσα ἐξ ἡδονῶν τῆς πικρίας, τῶν μυστικῶν ἀγωγίμων μένεις ἔμπλεως.

*Ὁ αὐτός.*

Θεοπρεπεῖ τῇ μιμήσει σὺ ξενιτεύσασα, τοῦ δι’ ἡμᾶς ἐξ ἄνω πρὸς ἡμᾶς κατελθόντως, ὑψῶσαι τοὺς πεσόντας

μένεις σοφὴ συγγενής, καὶ τοῦ Παύλου δέ· τοῖς εὐσεβέσι δὲ μᾶλλον, τῷ Θεῷ Ζηναΐδα, πάντα πρέσβευε.

*Ὁ αὐτός.*

Αἱ Ἅγιαι Ὅσιαι, αἱ δύο ἐν ἑνὶ φρονήματι, τῇ Τρισαγίᾳ θεότητι ἀεὶ λατρεύουσαι, ἀπειλὰς τυράννων, καὶ πληγὰς βασκάνων ὑπεμείνατε, τῇ πίστει ῥωννύμεναι, καὶ Ζηναΐδα, Φιλονίλλα δὲ πανεύφημαι, καὶ τῆς νίκης στεφάνους ἐδέξασθε.

*Ἦχος δ΄.*

Τὸ στόμα μου πληρωθήσεται τῆς αἰνέσεως Κύριε, ὑμνεῖν τὴν δόξαν σου τὴν τρισσολαμπῆ, καὶ γεραίρειν Ζηναΐδαν, Φιλονίλλαν, εὐαρεστῶν Θεῷ ἐν λαμπρότητι.

*Ἦχος πλ. α΄.*

Τὴν ἰατρικὴν τέχνην μετερχόμεναι, τῇ ἀληθείᾳ ἀποστολικὸν ἔργον ἐπλήρουν, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύουσαι, νηστείαις καὶ ἀγρυπνίαις· ἐνδώσατε πρὸς Κύριον ἐκτενῶς δεόμεναι, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν δι᾽ οἶκτον ὀφθέντας ἐπὶ τῆς γῆς, ἠγαπήσατε Λόγον Θεοῦ Πατρός, Αὐτῷ ἠκολουθήσατε, καὶ φθαρτὸν νυμφίον προθύμως κατελύσατε Ζηναΐδα, καὶ πλοῦτον ἐπίκηρον Φιλονίλλα· ὅθεν, φερωνύμως ἐβιώσατε, τὰ πάθη ἐνεκρώσατε, καὶ τῶν ζώντων ἀπειλήφατε θεόπνευσται κληρουχίαν. Πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Ὅλως ἠγαπήσατε, ἐκ ψυχῆς τὸν Δεσπότην, ὀπίσω Σου ἔδραμε, δυὰς ἡ ἀοίδιμος, καὶ τερπνὰ ἅπαντα, καὶ δεσμὸν ἄλυτον, ὡς ἱστὸν ἀράχνης ἔλυσε· διὸ καὶ ἔτυχε, Σοῦ τῆς Βασιλείας ἀθάνατε. Αὐτῶν οὖν ταῖς δεήσεσιν, ἱλασμὸν οἰκτίρμον, παράσχου μοι τῶν πλημμελημάτων, καὶ δεῖξόν με ἀνώτερον παθῶν, τῶν ἐνοχλούντων μου Δέσποτα, τὴν ψυχὴν ἑκάστοτε.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ὅλως ἐβδελύξασθε, βιοτικὴν τυραννίδα, καὶ πλοῦτον μισήσασαι, καὶ τρυφὴν τὴν ῥέουσαν βδελυξάμεναι, τὸν Σταυρὸν ἤρατε, τῷ Χριστῷ ἠκολουθήσατε, πρὸς οὐράνιον, χλόην θαυμαστῶς ἐσκηνώσατε· ἐν ᾗ συναγαλλόμεναι, μέμνησθε ἡμῶν τῶν ἐκ πίστεως, ὑμῶν μεμνημένων, καὶ πόθῳ ἐκτελούντων εὐλαβῶς, τὴν ἱερὰν καὶ σεβάσμιον, μνήμην ὑμῶν Ὅσιαι.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Ὅλως ἐστερήθητε, τὴν νεϊκὴν ἡλικίαν, προστάξει τῇ κρείττονι, καὶ τῷ βίῳ μένουσαι ἀπαράλλακτοι, τὴν φωνὴν ἤρατε, τὴν γενναιοτάτην, τοῦ Ἰὼβ καὶ ἀνεκράξατε· Κύριος ἔδωκε, Κύριος καὶ πάλιν ἀφείλετο. Διὸ καὶ τὸ ποθούμενον, ἔργον εὐχερῶς διηνύετε, καὶ πρὸς ἐρημίας, καὶ τόπους τοὺς ἁγίους ἐν χαρᾷ, μεταναστεύουσαι ἤλθετε, ζεῦγος ἱερώτατον.

*Δόξα. Ἦχος πλ. α΄.*

Πιστῶς πανηγυρίζομεν τὴν πάνσεπτον ἡμέραν τῶν ἀγώνων σας, Ζηναΐδα καὶ Φιλονίλλα πανεύφημοι, καὶ τοῦ Παύλου συγγενεῖς, καταλιποῦσαι τὴν θρεψαμένην, καὶ τὴν ὕπαρξιν αὐτῶν ἀπαρνησάμεναι.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἡχος γ'. Την ωραιότητα.*

Τὴν πολυθαύμαστον, Ταρσὸν τιμήσωμεν, τὴν ἐξανθήσασαν, ἄνθη τὰ τίμια, τὴν Ζηναΐδα τὴν σοφήν, καὶ Φιλονίλλαν ἅμα δέ· ἔχουσαι τῆς πίστεως, τὴν κρηπῖδα ἀσάλευτον, δύναμιν μυριοπλον, τῶν

δαιμόνων κατήσχυναν. Διὸ καὶ σὺν Ἀγγέλοις χορεύουσαι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Χορὸς ἀγγελικός.*

Τὴν νύκτα τῶν παθῶν, ἐκφυγοῦσα θεόφρον, προσῆλθες νοητῶς, τῷ Ἡλίῳ τῆς δόξης, ἀσκήσει ἐνεκρώσατε, τῆς σαρκὸς τὰ σκιρτήματα, καὶ γεγόνατε, ὑπογραμμὸς μοναζόντων, καὶ ἀνόρθωσις, τῶν πεπτωκότων ἐν βίῳ· διὸ σᾶς γεραίρομεν.

*Δόξα. Ὁ αὐτός. Τὸν τάφον Σου Σωτήρ.*

Ἐνθάψας πονηρός, τῶν δαιμόνων ἐνέδρας, ἀσκήσεσι πολλαῖς, καὶ δεήσεσι Μητέρες, νεκραὶ τάφῳ κείμεναι, ἀδιάλυτοι ἐμείνατε· ὅθεν χαίροντες, τὴν παναγίαν σας μνήμην, ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, Χριστὸν μεγαλύνοντες.

*Καὶ νῦν. Θεοτοκίον.*

Εὐφραίνεται πιστῶν, ἡ πληθὺς Θεοτόκε, τὸ ὄνομα τὸ σόν, καθ' ἑκάστην βοῶσα, καὶ πόθῳ τὰς ὑψώσεις σου,

μεγαλύνουσα πάντοτε· Σὺ γὰρ καύχημα, καὶ προστάτις ἀκαταίσχυντος πάντων ὑπάρχεις Παρθένε, τῶν πίστει τιμώντων σε.

*Μετὰ τὴν β’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀσκήσει ἐλάμπρυνας τὴν ἱεράν σου στολήν, καὶ δῶρον προσήνεγκας τῷ σαρκωθέντι Θεῷ, Ζηναΐδα θεόπνευστε, χάριν δὲ ἰαμάτων, πρὸς Αὐτοῦ εἰληφυῖα, νόσων ἀποδιώκεις, τὴν ἀχλὺν μακαρία, πρεσβεύουσα τοῦ σωθῆναι ἡμᾶς, τοὺς εὐφημοῦντάς σε.

*Δόξα.*

Αὐτὸς νῦν Σοὶ τὸν στέφανον τῆς ἀφθαρσίας Χριστός, παμμάκαρ ἀπέδωκεν ὡς ἀσκητῇ καὶ σεπτῷ· Τούτῳ γὰρ προσηγάγου, Φιλονίλλα, ἀναιμάκτους θυσίας, Τοῦτον τὸ θεῖον πάθος, ἀψευδῶς ἐμιμήσω, Αὐτοῦ καὶ τῆς ἀγήρω μακαριότητος τεύξει.

*Καὶ νῦν. Θεοτοκίον.*

Πολλαῖς περιστάσεσι καὶ συμφοραῖς τῶν δεινῶν, Παρθένε κυκλούμενοι καὶ πρὸς ἀπόγνωσιν, ἀεὶ περιπίπτοντες, μόνην σε σωτηρίαν, καὶ ἐλπίδα καὶ τεῖχος, ἔχομεν Θεοτόκε, καὶ πρὸς σὲ κατὰ χρέος, ἐν πίστει καὶ νῦν αἰτοῦμεν· Σῶσον τοὺς δούλους σου.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῶν ἀγώνων ταῖς μνήμαις οἰκονομοῦντες πιστῶς, τῶν Ἀθλοφόρων τὴν μνήμην πανηγυρίσωμεν, ὅτι

ἐνέκρωσαν εὐχῇ, τὸν ἀρχέκακον ἐχθρόν, τὸν πάλαι δόλῳ τὴν Εὔαν, στερήσαντα ἀφθαρσίας, καὶ τῷ Κυρίῳ πρεσβεύουσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα... Καὶ νῦν ... Θεοτοκίον*

Παναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει εἰς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους, τὴν θερμήν σου νῦν ἀντίληψιν· δύνασαι γὰρ ὡς ἀγαθή, τούς πάντας σῴζειν, ὡς οὖσα, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη θεοχαρίτωτε.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α᾽ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, τῆς Δ΄ Δεκεμβρίου.

Ὁ Ν᾽ ψαλμός.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος α΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἐν τῷ λιμένι τοῦ θείου προσορμισθεῖσα ἰσθμοῦ, διαπερᾷς κυμάτων Φιλονίλλα τὸν σάλον, ψυχῆς δέ σου τὸ πλοῖον σάλων σεμνή, ἀδιάκλυστον φέρουσα ἐξ ἡδονῶν τῆς πικρίας, τῶν μυστικῶν ἀγωγίμων μένεις ἔμπλεως.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῶν Ἁγίων.

*ᾨδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ Ἐρυθραῖον.*

Προθεῖσα ὡς πανδαισίαν σήμερον, τὴν θείαν μνήμην ἑαυτῆς τῇ οἰκουμένῃ πάσῃ μυστικῶς, Ζηναΐδα προτρέπεται, κατατρυφῆσαι ἅπαντας, τῶν ἐδεσμάτων τῶν ἀγώνων αὐτῆς.

Ὁ πόθος ὁ ὑπὲρ πᾶσαν ἔφεσιν ἐν τῇ ψυχῇ σου σεμνή, κατοικισθεὶς ἐκύρωσε τὸν νοῦν, καὶ τὴν φλόγαν τοῦ Πνεύματος ἀνάψας, σὲ ἐφώτισε, καὶ τῶν παθῶν τὴν ὕλην ἔφλεξεν.

Θαλάσσης τῆς ἁμαρτίας κλύδωνα ὑπεκφυγοῦσα σεμνή, τῷ γαληνῷ λιμένι τοῦ Χριστοῦ, Ζηναΐδα προσώρμισαι· διὸ τῇ μετανοίᾳ σου ἀπεκληρώσω τὸν Παράδεισον.

*Θεοτοκίον.*

Ἀφράστως τὸν ποιητὴν γεγέννηκας τῶν ὅλων Πάναγνε, τῆς παλαιᾶς λυτρούμενον ἀρᾶς, τοὺς βροτοὺς καὶ θανάτου φθορᾶς καὶ διὰ σοῦ ἐπέγνωμεν, ἕνα Θεὸν τὸν τρισυπόστατον.

*ᾨδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.*

Γαλήνη τῶν ἐν τῷ βίῳ ἄχραντε, χειμαζομένων βροτῶν, καὶ ἄγκυρὰ στεῤῥά, καὶ λειμὼν καὶ κυβέρνησις, αὐτὴ ὑπάρχεις πάντοτε, χειραγωγοῦσα καὶ διέπουσα.

Ἀνέπτης εἰς οὐρανούς, ἡ τοῦ Χριστοῦ περιστερά, πτέρυξι τῆς ἐγκρατείας σαυτήν, καὶ πόνοις πολλοῖς ἀνυψώσασα.

Ἰλύος τῆς τῶν παθῶν, σὺ τὸ δυσῶδες τῷ Χριστοῦ ὕδατι ἀποσμηχθεῖσα σεμνή, μύρον Φιλονίλλα, ἐδείχθης Αὐτῷ.

Ῥομφαία τῷ πονηρῷ, θανατηφόρος ἀληθῶς γέγονεν, ἡ πρὸς Θεόν σου σεμνή, ἔμπυρος ἀγάπη καὶ ἔφεσις.

*Θεοτοκίον.*

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ Χαῖρε, προσάγομεν.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὴν τοῦ βίου ἀπάτην ἀπομακρυνάμεναι, τὸν Σταυρὸν τοῦ Κυρίου ἀναλαβόμεναι, ἀσκητικῶς τὸν πονηρὸν κατεπαλαίσατε, τῆς ἐρήμου φωστῆρες νοητῶς ἀνεδείχθητε· διὸ πρεσβεύετε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄσπορος τόκος ὁ τῆς γεννήσεως, ἐν Σοὶ ἐγνώρισται ἁγνὴ ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα Σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*ᾨδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.*

Ὡς θυμίαμα ὑπέρτιμον Φιλονίλλα, τῆς ἐγκρατείας ἄνθραξιν ὁλοκαυτωθεῖσα, εὐωδία γέγονας Χριστῷ τῷ Θεῷ ἡμῶν, εἰς ὀσμὴν δραμοῦσα τοῦ μύρου Αὐτοῦ.

Τὴν τοῦ σώματος εὐπρέπειαν Φιλονίλλα, τῆς ἁμαρτίας ὕλην πρώην γενομένην, ὅλην μετεῤῥύθμισας εἰς κάλλος ἀνόθευτον, οὗ ὁ σὸς Νυμφίος ἠράσθη Χριστός.

Ἡ τοῦ Πνεύματος ἐνσκήψασα Ζηναΐδα, ἐν τῇ ψυχῇ σου χάρις, ὡς σπινθῆρα τοῦ Λόγου, τὴν φλόγαν μετέωρον ἀνῆψε τῆς πίστεως, καὶ τὴν ἁμαρτίαν ἐχώνευσεν.

*Θεοτοκίον.*

Ῥάβδος ἔφυς Θεοτόκε, ἐξ᾽ ἧς τὸ ἄνθος τὸ νοητὸν ἐβλάστησας, θείας εὐωδίας πληρῶσαν τὰ σύμπαντα, Χριστὸς ὁ Θεὸς ἡμῶν, μύρον ὢν ἀκένωτον τίμιον.

*ᾨδὴ ε᾽. Σὺ Κύριέ μου φῶς.*

Νάμασι μυστικοῖς πιανθεῖσα τοῦ Πνεύματος, ἐξήνθησας ἐν τῇ πίστει ἀρετῶν εὐφορίαν, καὶ πόνοις τῆς ἀσκήσεως.

Σὺ Κύριε τὸ φῶς, τῶν ἐν σκότει κειμένων βροτῶν, Σὺ ἔλαμψας ἐν τῇ καρδίᾳ τῶν Ὁσίων τὴν αἴγλην, τῆς θείας ἐπιγνώσεως.

Οἱ πόνοι σου σεμνὴ Ζηναΐδα, ἐν δάκρυσι σπειρόμενοι, εὐφροσύνης καὶ χαρᾶς, ἀφθονίαν ἐν οὐρανοῖς συνήθροισαν.

*Θεοτοκίον.*

Γνωστή Σου ἀληθῶς ἡ χάρις ἀναδέδεικται, πανάχραντε Θεοτόκε, ἐνεργοῦσα δυνάμεις καὶ τέρατα, ἐν πάσῃ τῇ γῇ.

*ᾨδὴ δ'. Θύσω σοι μετὰ φωνῆς.*

Φανείσης τῆς ἀνεσπέρου αἴγλης Χριστοῦ τοῦ Θεοῦ, ἐν τῇ ψυχῇ Φιλονίλλας, ὁ τοῦ σκότους ἄρχων ἀπεσοβήθη, καὶ ᾠκίσθη ἡ τοῦ Πνεύματος χάρις, καὶ πίστις Αὐτοῦ.

Ἡ πάλαι παγιδευθεῖσα ὑπὸ τοῦ ὄφεως, παγὶς αὐτῷ ἀνεδείχθης, τὴν αὐτοῦ συνέχουσα δυναστείαν, καὶ πατοῦσα τὴν αὐτοῦ πανουργίαν, δυνάμει Θεοῦ.

Νυμφίον τὸν Κύριον καὶ Θεὸν ἀγαπήσασα, ταῖς ἀρεταῖς κοσμηθεῖσα, καὶ πεποικιλμένη πόνοις ἐνθέοις, τοῦ νυμφῶνος τοῦ Αὐτοῦ, Ζηναΐδα ἠξίωσαι.

*Θεοτοκίον.*

Ἰδεῖν Σου Θεοτόκε τὴν δόξαν τὴν ἄφραστον, πάλαι ὠδίνησαν θείως οἱ Προφῆται πάντες, ἀλλ' ἐπ' ἐσχάτων ἡμῖν ὤφθης, τοῖς ποθοῦσί Σε, Κόρη πανάμωμε.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ θυσία ἄμωμος, προσενεχθεῖσαι δι' ἀρετῆς Ὅσιαι ἔνδοξοι, τῷ ὑμᾶς πρὶν γεννηθῆναι ἐπισταμένῳ, ἐχρηματίσατε Ὁσίων ἐγκαλλώπισμα, πολισταί τε τῆς ἐρήμου ἀξιέπαινοι· διὸ κράζω ὑμῖν· Χαίροις Ζηναΐδα καὶ Φιλονίλλα πανεύφημοι.

*Ὁ Οἶκος.*

Ὑπάρχων σοφίας βλάστημα Ζηναΐδα παιδιόθεν, ἐπόθησας σοφίαν τὴν ἐνυπόστατον, ἣ συνοικήσασά σοι, ἀπὸ γῆς σε ἐχώρισε, καὶ πρὸς ὕψος ἀνήγαγεν, ἐξ ἀΰλων ἀνθέων στέφανον πλέξασα, καὶ τῇ σῇ ἐπιθεῖσα ἡγιασμένῃ ψυχῇ· ὅνπερ κεκοσμημένη, ἐξιλέωσον τὸ θεῖον τοῦ δοθῆναί μοι σοφίαν λόγου, ἐπαξίως ὅπως ἐξυμνήσω τὴν ἁγίαν σου κοίμησιν, ἥνπερ καὶ ἐδόξασε Χριστὸς ὁ Θεὸς ἡμῶν· διὸ καὶ ἡμεῖς κράζομέν σοι· χαίροις Ζηναΐδα καὶ Φιλονίλλα πανεύφημοι.

*Σ υ ν α ξ ά ρ ι ο ν*

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ζηναΐδος καὶ Φιλονίλλας τῶν αὐταδέλφων.

*Εἰρηνικῶς ὕπνωσαν εἰρήνης φίλαι,*
*Ἡ Φιλονίλλα Ζηναῒς τε αἱ δύο.*
*Ζηναῒς ἐνδεκάτῃ Φιλονίλλᾳ, σὺν θάνε κηδείῃ.*

*ᾨδὴ ζ'. Ἐν τῇ καμίνῳ*

Πέλαγος θείων κατορθωμάτων ὤφθης ὡς ἀληθῶς, ὅλην τοῦ ἐχθροῦ βυθίσασα ἐν αὐτῷ τὴν ἰσχύν· διὸ ἀνέμελπες εὐλογημένη, καὶ καθαρὸν τὸ πρῶτον κάλλος ἔδειξας, εὖ ῥιζωθὲν σεμνὴ Ζηναΐδα, τῇ ἄκρᾳ ἀσκήσει σου.

Ἐν τῇ καμίνῳ ταῖς ἐγκρατείαις, τὸ σῶμα καὶ τὴν ψυχήν, ὡς χρυσὸν ἐχώνευσας καθαρῶς, καὶ τὸ ὡραῖον

κάλλος ἔδειξας, εὖ ῥιζωθέν, σεμνὴ Φιλονίλλα, ἐν ἄκρᾳ ἀσκήσει σου.

Λουτρῷ τῷ θείῳ ἐκδυσαμένη ὅλον σὺ ἀληθῶς, ὅνπερ παλαιὸν ἐνδέδυσαι τῶν παθῶν καὶ φθειρόμενόν σου ἄνθρωπον, τὸν νέον ἄνθρωπον ἠμφιάσω, Χριστῷ συμμορφούμενον.

*Θεοτοκίον.*

Ὁ ἐν τῷ θρόνῳ τῷ πατρικῷ ὀχούμενος Λόγος Θεοῦ, ξένως ἐπὶ Σοὶ ἐσκήνωσε, καὶ φρικτῶς Θεοτόκε, καὶ ἀνέπλασεν ἡμῶν τὸ φύραμα, ἐν Αὐτῷ ἀνυψώσας ὡς εὔσπλαγχνος.

*ᾨδὴ η’. Χεῖρας ἐκπετάσας Δανιήλ.*

Λάμπουσιν ἀκτῖνες φαειναί, τῶν θαυμασίων σου καθάπερ ἥλιος, καὶ τὴν τοῦ βίου σου ἅπασαν ὑπεμφαίνουσι λαμπρότητα, καὶ ἀστράψασαν ἐν σοί, τῆς θείας πίστεως, ἐκβοῶσι πάσῃ τῇ κτίσει αὐγήν, Ζηναΐδα σεμνή.

Ἄλυτον δεσμόν, τὸν ἐν Χριστῷ πιστῶς συνδέσασα, προσεκολλήθης Αὐτῷ, καὶ ἀδιάσπαστος ἔμεινας τῇ ἑνώσει τῆς ἀγάπης Αὐτοῦ, Ζηναΐδα, ἀδιαιρέτως Αὐτῷ διαμείνασα.

Γνῶσιν δεξαμένη ἀληθῆ ἐν τῇ καρδίᾳ σου, διὰ τοῦ Πνεύματος σαφῶς, κατέλιπες ἅπασαν τὴν τοῦ βίου ματαιότητα· διὸ κατέπληξας βροτούς, ἐν σεπτῇ σεμνὴ μεταθέσει, καὶ οὐρανοὺς εὐφροσύνης ἐπλήρωσας.

*Θεοτοκίον.*

Ὑμνοῦσι πανάχραντε Ἁγνή, τὰ μεγαλεῖά Σου αἱ νοεραὶ στρατιαί, ἀνακηρύττουσιν ἅπαντες, Πατριάρχαι καὶ Προφῆται τρανῶς, σὺν Ἀποστόλοις ἱεροῖς, καὶ τῶν Μαρτύρων χοροί, καὶ Ὁσίων ἅπαν τὸ πλῆθος· μεθ’ ὧν προσκυνοῦμέν Σε.

*ᾨδὴ θ’. Λίθος ἀχειρότμητος.*

Ἰδεῖν ἐπεθύμησας ὄντως τοῦ Χριστοῦ τὸ κάλλος· δι’ ὃν ἐσταυρώθης τῷ κόσμῳ, καὶ τὸ ὡραῖον ἄνθος τοῦ σώματος Ὁσία κατεμάρανας, καὶ τὴν τοῦ βίου ἐβδελύξω στοργήν.

Ἅπαν τὸ τοῦ σώματος κάλλος ἀποθεμένη Ζηναΐδα, δι’ ἐγκρατείας καὶ πόνων, πρὸς οὐρανίους σκηνὰς ἀνέδραμες, ἐν οἷς τοῦ ποθουμένου σοι ἐπαπολαύεις κάλλους ἔνδοξε.

Νῦν τοὺς σὲ τιμῶντας ἐκ πόθου πάντας Ὁσία, ἐποπτεύεις καὶ τοὺς τὴν ἐτήσιον ταύτην ἐπιτελοῦντάς σου μνήμην, πρέσβευε τῷ ποιητῇ καὶ κτίστῃ σου, ἵνα μετάσχωμεν τῆς δόξης Αὐτοῦ.

*Θεοτοκίον.*

Ὑμνῶ Σου τὸν τόκον Παρθένε, καὶ μεγαλύνω Σου τὴν χάριν, Σὺ γὰρ φωτισμὸς τῆς ψυχῆς μου ὑπάρχεις ὄντως, καὶ ἡ παράκλησις, ἡ ταχινὴ βοήθεια, καὶ σωτηρία καὶ ἀντίληψις.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ὑπογραμμὸς ὁ βίος σου μοναζόντων ἐδείχθη, καὶ ἀκριβὴς ἀνόρθωσις τῶν δεινῶς πεπτωκότων, ἀοίδιμε Ζηναΐδα, τῶν παθῶν γὰρ τὴν νύκτα φυγοῦσα, προσεπέλασας τῷ Ἡλίῳ τῆς δόξης Χριστῷ σεμνή, ἀσκητῶν ἐκλάμψασα ὁμηγύρει· μεθ’ ὧν σου τὴν ὑπέρλαμπρον ἑορτάζομεν μνήμην.

*Ἕτερον. Ὁ οὐρανὸς τοῖς ἄστροις.*

Ὡς ποταμὸς ὑπάρχεις, ῥεῖθρα χρυσόῤῥυτα βρύων, καὶ τοὺς λαοὺς διεγείρων, τῆς μετανοίας πρὸς τρίβον, Χριστὸν ἱκέτευε Μῆτερ, Φιλονίλλα σῶσαι τὸν κόσμον.

*Θεοτοκίον.*

Ἐλπὶς τῶν ἀπηλπισμένων, καταφυγὴ Χριστιανῶν, πανύμνητε Θεοτόκε, τῶν θλιβομένων ἡ χαρά, ἐκ πάσης θλίψεως ῥῦσαι, τοὺς ἀναξίους Σου δούλους.

*Αἶνοι. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Τρωθεῖσα τῷ ἔρωτι, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, Ζηναΐδα πανεύφημε, καὶ Φιλονίλλα ἔνδοξε, Αὐτῷ ἠκολουθήσατε, ἀπαρνησαμέναι, ἐπίκηρον δόξαν, καὶ τῆς σαρκὸς τὰς ἡδονάς, καὶ πᾶσαν βίου ἄλλην ἀπόλαυσιν· διό σε εἰσωκίσατο, εἰς φωτεινότατον θάλαμον, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.*(Δίς)*

Ἡ τοῦ Πνεύματος ἔλλαμψις, Ζηναΐδα πανεύφημε, τηλαυγῶς σε κατεφώτισε, ἐντεῦθεν ἰάματα, ἰατρεύειν πόθῳ, καὶ τῆς ἀπαθείας, ἡμέραν φθάσαι καθαρή,

καθαρωτάτῳ φωτὶ ὡμίλησας, Ἰησοῦ τὸν Φιλάνθρωπον, καὶ Σωτῆρα τῶν ψυχ[βν ἡμῶν.

Πάθη τοῦ Κυρίου σου, καὶ ποιητοῦ ἀναπλάττουσα, ἐν ἑαυτῇ ἀναδέδειξαι, τοῦ Λόγου ὡς ποίημα, λογικὸν Παρθένε, καὶ διὰ τοῦ Λόγου, παιδαγωγοῦσα τῶν παθῶν, τῆς ἀλογίας τὰ παρεγκλήματα· διὸ καὶ καθ' ὁμοιώσιν, εὐθυπορεῖς ἀοίδιμε, πρὸς Ἰησοῦν τὸν Φιλάνθρωπον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Πλήρη γενομένη Πνεύματος Ἁγίου, Ὁσία Ζηναΐδα, τὰς τῶν δαιμόνων ἐπινοίας κατήργησας, τῷ Σταυρῷ γὰρ ὁπλισαμένη, καὶ ἐν τούτῳ θαῤῥοῦσα, πάσας τὰς νόσους ἐθεράπευες, ψυχῶν μὲν τὰ πάθη, σωμάτων δὲ πᾶσαν μαλακίαν, σὺν Φιλονίλλᾳ τῇ πανσεβάσμιᾳ. Αὐτῶν ταῖς ἱκεσίαις κατάπεμψον Κύριε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ έγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*